ροι τάξεων καὶ πολέμου, ἀγνοοῦντες τὰς τῶν πολεμίων ἐργα-
σίας καὶ πράξεις εἴτε ἐκ παρασκευῆς πράσσονται εἴτε καὶ
3 ἀπὸ ταὐτομάτου. ὁ δὲ ἔμπειρος, γνοὺς τὴν τῶν πολεμίων
παρασκευὴν καὶ τὸ πλῆθος καὶ τὰς πορείας καὶ τὴν ἄλλην
4 κίνησιν τοῦ στρατεύματος, οὕτω τὴν ἀλήθειαν ἐμφανιεῖ. ἐὰν
δὲ μὴ ὑπάρχωσι τοιοίδε τόποι, ὥστε καὶ εἰς τὴν πόλιν ἀπ'
αὐτῶν φαίνεσθαι τὰ σημεῖα, ἄλλους ἐπ' ἄλλοις διαδεκτῆρας
εἶναι τῶν αἰρομένων σημείων, οἳ σημανοῦσιν εἰς τὴν πόλιν.
5 εἶναι δὲ τοὺς ἡμεροσκόπους καὶ ποδώκεις, ἵν', ἂν μὴ οἷόν τε
διὰ τῶν σημείων δηλοῦν, ἀλλ' αὐτῶν τινὰ δέῃ ἐξ ἀνάγκης

deat. interim aptissimum visum est scribere *παραπείσειαν ἄν τινας ἐπὶ νεωτερισμῷ.*

4. *δοξάζον τι M.* scripsi *δόξαν τινά.* nam cum *δοξάζειν* non adhibeatur nisi opinandi potestate, *δοξάζον τι* idem esse nequit quod *δόξα* vel *φαντασία.* similiter XXXII 12 *τειχίον* librariorum stupore in *τειχίζοντα* abiit.

5. *σημήνῃ* scripsi: *σημάνῃ M.*

6. *ὀχλήσῃ* Meinekius, qui praeterea proposuit *σημαίνῃ ἢ διαγγέλλῃ εἰς τὴν πόλιν καὶ ματαίως ὀχλῇ. ὀχλῇ M.*

τοῖς ἀνθρώποις M. Hertlinus 'cum accusativus alibi ab Aenea cum verbo *ὀχλεῖν* iungatur, ut XVI 12 XXII 11, hoc quoque loco *τοὺς ἀνθρώπους* scribendum esse videtur, nisi quis *ἐνοχλῇ* praeferat'. feci accusativum.

8. *πράσσεται M.* scripsi *πράσσονται.*

9. *παραταὐτομάτου M.* scripsi *ἀπὸ ταὐτομάτου.* non minus bene corrigi poterat *ἐκ ταὐτομάτου.* illud habet Aeneas XXII 6.

10. Inserui *τὸ* et *τάς.*

12. *ὑπάρχωσιν τοιοῖδε M.*

ὥστε καὶ] *καὶ* deleverim.

ἀπαυτῶν M.

13. *ἐπ' ἄλλοις* Hertlinus: *ἐπ' ἄλλοις τόποις M.*

14. *αἰρομένων* Hertlinus: *ἀειρομένων M.*

σημανοῦσιν Turicenses: *σημαίνουσιν M. σημαίνωσιν* L. Dindorfius in Thesauri t. II. p. 1136 B, quod non intellego.

15. *οἳ ὅσα μὴ οἷά τε τῶν σημείων δηλοῦν M*, atque ita codex Casauboni, nisi quod ad eius marginem a recentissima manu adscriptum est *διά.* Hertlinus *ἵνα ὅσ' ἂν μὴ οἷά τ' ᾖ διὰ τῶν σημείων δηλοῦν ἀλλ' αὐτόν τινα δέῃ* vel *ἵνα ὅσα μὴ οἷά τε διὰ τῶν σημείων δηλοῦν ἀλλ' αὐτόν τινα δεῖ*, mira subiecti mutatione, neque dubito, quin *αὐτόν τινα*, in quod et Meinekius incidit, hoc quidem loco admitti nequeat. scribendum erat *ἵν' ἂν μὴ οἷόν τε διὰ τῶν σημείων δηλοῦν. ᾖ* omitti potuisse Hippocrates monstrat de Morbis Mulierum I 70 *ταῦτα ἄριστον μέν, ἢν οἷόν τε, ἀπώσαντα ἔσω ἐπὶ κεφαλὴν στρέφειν·*

ἀγγέλλειν, δύνωνται ταχὺ ἀφικνεῖσθαι, κἂν ἐκ πλείστου ἀγ-
γέλλωσιν. ἄριστον δὲ ἱππασίμων ὄντων τόπων καὶ ὑπαρχόν- 6
των ἵππων ἱππέας συνεργεῖν, ἵνα διὰ τῶνδε θᾶσσον ἀγέλλη-
ται. πέμπειν δὲ ἐκ τῆς πόλεως τοὺς ἡμεροσκόπους ὄρθρου
ἢ ἔτι νυκτός, ἵνα τοῖς τῶν πολεμίων σκοποῖς μὴ κατάδηλοι
ὦσιν ἡμέρας πορευόμενοι ἐπὶ τὰ ἡμεροσκοπεῖα. σύνθημα δὲ 7
μὴ ἔχειν αὐτοὺς ἓν καὶ τὸ αὐτό, ὅπως μήτε ἑκόντες μήτε
ἄκοντες, ἐὰν συλληφθῶσιν ὑπὸ τῶν πολεμίων, εἰπεῖν ἔχωσι
τὸ τῶν ἐν τῇ πόλει σύνθημα. παραγγέλλεσθαι δὲ τοῖς ἡμε-
ροσκόποις αἴρειν τὰ σύσσημα ἐνίοτε, καθάπερ οἱ πυρσευταὶ
τοὺς πυρσούς.

Ὅταν δὲ ἡ χώρα ἐγκάρπως διακέηται, μὴ πόρρω ὄντων 7
τῶν πολεμίων, εἰκὸς πολλοὺς τῶν ἐν τῇ πόλει περὶ τοὺς ἐγ-
γὺς χώρους διατελεῖν, γλιχομένους τοῦ καρποῦ. τούτους δ' 2
οὖν εἰς τὴν πόλιν ἀθροίζειν ὧδε χρή. πρῶτον μὲν τοῖς ἔξω
ἅμα ἡλίῳ δύνοντι σημαίνειν ἀπιέναι εἰς τὴν πόλιν· ἐὰν δὲ
ἐπὶ πλέον τῆς χώρας ἐσκεδασμένοι ὦσιν, ὑπὸ διαδεκτήρων
σημαίνεσθαι, ὅπως πάντες ἢ οἱ πλεῖστοι παραγίγνωνται εἰς
τὴν πόλιν. ἐπειδὰν δὲ τούτοις σημανθῇ ἀπιέναι, οὕτως τοῖς 3
ἐν τῇ πόλει σημαίνειν δειπνοποιεῖσθαι· τὸ δὲ τρίτον σημαί-
νειν εἰς φυλακὴν ἰέναι. ὡς δὲ δεῖ ταῦτα γίγνεσθαι καὶ ὡς 4

ἢν δὲ μὴ οἷόν τε ᾖ, τάμνειν τῷδε τῷ τρόπῳ et Phalaris 95 *κἂν τὰ οἰκεῖα μὴ οἷά τε σωφρονίζειν αὐτόν.* 143 *ὅσα δὲ αὐτὴ κατεπείγει ἡ φύσις, ἀκόντων ἡμῶν, ἂν οἷόν τε, μὴ περιμένωμεν.*

1. *κἂν* scripsi: *καὶ ὡς M.*

2. *ὄντων τόπων*] Ita *M. ὄντων τῶν τόπων* codex Casauboni et impressi.

3. *ἵππων* codex Casauboni: *ἱππέων M.*

συνεργεῖν ego: *συνιμείρειν M.*

4. *δὲ*] Ita *M.* impressi *δ'*.

6. *ἐπὶ τὰ* Casauboni codex: *ἔπειτα M.*

ἡμεροσκοπεῖα Casaubonus: *ἡμεροσκοπία M* et codex Casauboni.

7. *μὴ* addiderunt Turicenses.

10. *σύσσημα* Casaubonus: *σύσσιμα M* et codex Casauboni.

ἐγκάρπως Hertlinus: *ἔγκαρπος M.*

διακέηται G. Dindorfius in Thesauri vol. IV. p. 1406, C: *διάκειται M.*

15. *οὖν* videtur delendum esse.

ὧδε M.

18. *παραγίνωνται M.* inserui gamma.

19. *τὴν* addidi.

20. *πόλει δειπνοποιεῖσθαι M.* post *πόλει* Casaubonus suppleri vult *δεῖ σημαίνειν.* suffecerit inseruisse *σημαίνειν.*

21. *εἰς φυλακὴν ἰέναι* scripsi: *εἰς φυλακὴν ἰέναι καὶ καθιστάναι M.* cf. XVIII 1 *ὅταν δὲ δείλη γένηται, σημαίνειν δειπνοποιεῖσθαι καὶ εἰς φυλακὴν ἰέναι.* Hertlinus malebat *καθεστάναι.*

τούτους M. τοῦτο Casaubonus. scripsi *ταῦτα.* sed rectius fortasse *πάντα* scribetur, ut infra est VIII 2.

γίνεσθαι M. gamma inserui. in sequentibus verbis *καὶ ὡς αἴρειν τοὺς φρυκτούς*, nisi totum hoc comma ab interpolatore profectum est, post *ὡς* excidisse videtur *χρή.* certe ad vul-

αἴρειν τοὺς φρυκτούς, ἐν τῇ Παρασκευαστικῇ βίβλῳ τελέως εἴρηται. ὅθεν δεῖ τὴν μάθησιν λαμβάνειν, ἵνα μὴ δὶς περὶ τῶν αὐτῶν γράφειν συμβῇ.

8 Μετὰ δὲ ταῦτα εἰς τὴν χώραν προσδεχόμενον πλείω καὶ μείζω δύναμιν πολεμίων πρῶτον μὲν τὴν χώραν δυσείσβολον τοῖς πολεμίοις καὶ δυσστρατοπέδευτον καὶ δυσπόρευτον κατασκευάζειν καὶ τοὺς ποταμοὺς δυσδιαβάτους καὶ δύσπλους.
2 πρός τε τὰς ἀποβάσεις τῶν πολεμίων εἰς τὰ ψαμμώδη καὶ στερεὰ ὅσα καὶ οἷα χρὴ κατασκευάζεσθαι δολώματα τοῖς ἀπο-

gatam tuendam non faciunt quae leguntur XXI *περὶ δὲ ἁρμένων ἑτοιμασίας καὶ ὅσα περὶ χώραν φιλίαν προκατασκευάζειν ἢ τὰ ἐν τῇ χώρᾳ ὡς δεῖ ἀφανίζειν, ὧδέ μοι παραλείπεται.*

1. *πλειόνως M.* Aeneas cum artem, qua faces a pyrseutis attollendae sint, hic quidem recusaverit describere et lectorem ad librum suum delegaverit quem *περὶ παρασκευῆς* scripsit, ineptus esset si materiam istam explicatius in libro illo se tractare perhiberet quam in Poliorcetico, in quo nihil omnino de ea tradidit. deinde, ut potuerit admitti hoc loco comparatio, tenendum est, non *πλειόνων* esse *fusius* vel *uberius*, sed *διὰ πλειόνων* vel *ἐν πλείοσιν*. scripsit Aeneas *τελείως*, vel potius *τελέως*. VIII 2 *περὶ μὲν οὖν τούτων πάντων ὧδε μὲν νῦν παραλείπεται, γέγραπται δὲ τελέως περὶ αὐτῶν ἐν τῇ Παρασκευαστικῇ βίβλῳ*, ubi delendum est *μέν* et *μοι* scribendum pro *νῦν*. in capite XXI *περὶ δὲ ἁρμένων ἑτοιμασίας ἢ τὰ ἐν τῇ χώρᾳ πῶς δεῖ ἀφανίζειν, ὧδέ μοι παραλείπεται, ἐν δὲ τῷ Παρασκευαστικῷ περὶ τούτων τελείως δηλοῦται* extrema sic corrigenda *περὶ αὐτῶν τελέως δεδήλωται*. pro *ὧδέ μοι* scribendum *ὧδε μέν μοι*.

2. *μὴ δὶς* Casaubonus: *μηδεὶς M* et codex Casauboni.

4. In impressis lemma legitur *πῶς δεῖ τὴν χώραν δυσείσβολον κατασκευάζειν.* hoc neque in *M* neque in ceteris manu scriptis reperitur. videtur effictum esse a Casaubono.

πλείω καὶ μείζω] Horum adiectivorum alterum interpolatori tribuit Hertlinus. Pro *μείζω* Meinekius *ἀμείνω*. sed cum utrumque dicatur, et *πλείων δύναμις* et *μείζων*, caussa nulla videtur esse, cur non comparativi isti iuncti inter se cum *δυνάμει* copulari potuerint. consimiliter Plato de Rep. IV. p. 435 D *μακροτέρα καὶ πλείων ὁδός.*

5. *τὴν χώραν*] Falsa de hoc loco rettulit Gronovius, cum in Mediceo extare scriberet *δὴ χώραν*. habet is quod in contextu positum est.

δυσείσβολον scripsi: *δυσεπίβολον εἶναι M.* dixi de hoc loco in Hermae vol. II. p. 68 et 101.

6. *δυσστρατοπέδευτον*] *δυσενστρατοπέδευτον* Meinekius.

δυσπροσπόριστον M. scripsi *δυσπόρευτον*. vide eundem Hermam l. c. p. 69.

7. *πλείους M. ἀπλεύστους* Casparus Orellius, *ἁπλοίους* Meinekius, *ἑλείους* Hauptius. ut antea Aeneas iunxit *δυσείσβολος δυσστρατοπέδευτος δυσπόρευτος*, ita huic loco consentaneum esse videtur *δυσδιαβάτους καὶ δύσπλους.*

8. *εἴς τε ψαμμώδη* Meinekius.

9. *κατασκευάζεσθαι*] Passive accipiendum est.

βαίνουσι, τοῖς τε ἐν τῇ χώρᾳ καὶ τῇ πόλει λιμέσιν οἷα δεῖ
φράγματα παρασκευάζεσθαι πρὸς τὸ μὴ εἰσπλεῖν ἢ τὰ εἰσ-
πλεύσαντα μὴ δύνασθαι ἐκπλεῦσαι, τά τε καταλιμπανόμενα 3
μὲν ἐν τῇ χώρᾳ ἀκουσίως εἰς χρείαν δὲ φέροντα τοῖς ἐναν-
τίοις, οἷον τὰ πρὸς τειχοποιίαν ἢ σκηνοποιίαν ἢ ἄλλην τινὰ
πρᾶξιν, τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα 4
ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν, καὶ τὰ κατὰ τὴν χώ-
ραν στάσιμα ὕδατα ὡς ἄποτα δεῖ ποιεῖν, τά τε ἱππάσιμα
τῆς χώρας ὡς δεῖ ἄνιππα ποιεῖν, περὶ οὖν τούτων πάντων 5
ὧδε μέν μοι παραλείπεται, γέγραπται δὲ τελέως περὶ αὐτῶν
ἐν τῇ Παρασκευαστικῇ βίβλῳ.

Ἂν δὲ θρασύνεσθαί τι ἐπιχειρῶσιν οἱ ἐπιόντες πρός σε, 9
τάδε ποιητέον. πρῶτον μὲν χρὴ σώμασι τόπους τινὰς τῆς
οἰκείας χώρας καταλαβεῖν, ἔπειτα ἐκκλησιάσαντα τοὺς σεαυτοῦ
στρατιώτας ἢ πολίτας ἄλλα τε προειπεῖν αὐτοῖς, ὡς ὑπαρ-
χούσης τινὸς αὐτοῖς πράξεως εἰς τοὺς πολεμίους, καὶ ὅταν
νυκτὸς σημήνῃ τῇ σάλπιγγι, ἑτοίμους εἶναι τοὺς ἐν τῇ ἡλι-
κίᾳ, ἀναλαβόντας τε τὰ ὅπλα καὶ ἀθροισθέντας εἰς χωρίον
ῥητὸν ἕπεσθαι τῷ ἡγουμένῳ. διαγγελθέντων οὖν τούτων εἰς 2

1. *οἷα* scripsi: *οἷα εἰς τούτους M.*
4. *μὲν* inserui.
ἀκουσίως Turicenses: *ἑκουσίως M.*
5. *οἷον πρός τε M.* scripsi *οἷον τὰ πρός* deleto *τε*, cuius hic nullus locus est. natum est ex proximarum literarum iteratione.

ἢ ἄλλην τινὰ πρᾶξιν ὡς δὴ ἀχρεῖα ποιεῖν ἢ φθείροντα ἀφανίζειν τά τε βρωτὰ καὶ ποτὰ καὶ τὰ κατ' ἀγροὺς ἔγκαρπα M, atque ita Casauboni codex, nisi quod habet *βροτά*. recte Casaubonus *δεῖ* pro *δή*, sed male idem *ἀχρεῖα ποιεῖν φθείροντα ἢ ἀφανίζειν.* peius etiam Haasius *ἀχρεῖα ποιεῖν ἢ μὴ φθείροντα ἀφανίζειν.* Aeneas infra capite XXI *τὰ ἐν τῇ χώρᾳ ὡς δεῖ ἀφανίζειν ἢ ἀχρεῖα ποιεῖν τοῖς ἐναντίοις*, unde intellegitur, *φθείροντα* ab interpolatore ad *ἀχρεῖα ποιεῖν* adscriptum fuisse. illud igitur ad quietiora transposui. sed ea ipsa sententia *ὡς δεῖ ἀχρεῖα ποιεῖν ἢ ἀφανίζειν* a loco suo proiecta fuit, itaque eam post *ἔγκαρπα* intuli.

7. *καὶ τὰ κατὰ τὴν χώραν στάσιμα ὕδατα* scripsi: *καὶ τὰ ἄλλα κατὰ τὴν χώραν στάσιμα ὕδατα M.*
9. *περὶ μὲν οὖν M.* expunxi *μέν.* vide ad VII 4.
10. *ὧδε M.*
μέν μοι scripsi: *μὲν νῦν M.* vide ad VII 4.

Post *παραλείπεται* expunxi quae in scriptis sunt *ὡς δεῖ ἕκαστον τούτων γίνεσθαι ἵνα μὴ καὶ ταῦτα λίαν πολλὰ δηλοῦται.* simili emblemate ditatus est Aeneas capite XXX. pro *δηλοῦται* Casparus Orellius coniciebat *δηλῶται*, quo coniunctivo interpolatorem non frustrabimus.

14. *σεαυτοῦ* scripsi: *αὐτοῦ M. αὑτοῦ* impressi.
17. *σημήνῃ* Hertlinus: *σημάνῃ M.*
18. Post *ἀναλαβόντας* addidi *τε*.

τὸ στρατόπεδον τῶν πολεμίων ἢ τὴν πόλιν, δύνασαι ἀποτρέ-
3 *ψαι ὧν ἐπιχειροῦσι πράσσειν. τούτων δὲ οὕτω πραχθέντων*
τοῖς μὲν φιλίοις θάρσος ἐμποιήσεις, ὥστε ἐπιχειρεῖν· τοῖς
δὲ πολεμίοις φόβον ἐμπαρασκευάσεις, ὥστε ἐπὶ τῆς αὐτῶν
ἠρεμεῖν.

10 *Δεῖ δὲ καὶ τάδε παρηγγέλθαι. τῶν πολιτῶν τοὺς κεκτη-*
μένους ζεύγη ἢ ἀνδράποδα ὑπεκτίθεσθαι εἰς τοὺς προσοίκους,
2 *ὡς οὐκ εἰσαξόντων εἰς τὴν πόλιν. οἷς δ' ἂν μὴ ὑπάρχωσι ξέ-*
νοι παρ' οὓς θήσονται, τοὺς ἄρχοντας δημοσίᾳ παρατίθεσθαι
τοῖς προσοίκοις, παρασκευάζοντας δι' ὧν σωθήσεται τὸ
3 *ὑπεκτιθέμενα. ἔπειτα κηρύγματα ποιεῖσθαι τοιάδε διά τινος*
χρόνου, φόβου καὶ ἀποτροπῆς τῶν ἐπιβουλευόντων ἕνεκα.
κατακομίζειν τὰ ἐλεύθερα σώματα καὶ τοὺς καρποὺς εἰς τὴν
πόλιν, τοῦ δὲ ἀνηκουστοῦντος ἐξουσίαν εἶναι τῷ βουλομένῳ
4 *ἀζήμια ἄγειν καὶ φέρειν τὰ ἐκ τῆς χώρας. τάς τε ἑορτὰς*
κατὰ τὴν πόλιν ἄγειν, συλλόγους τε ἰδίους μηδαμοῦ μήτε
ἡμέρας μήτε νυκτὸς γίγνεσθαι, τοὺς δὲ ἀναγκαίους ἢ ἐν

1. *δύνασαι* Hertlinus: *δύνανται M.*

2. *ἐπιχειρῶσι M.* scripsi *ἐπιχειροῦσι.* *πράσσειν*] Ita *M.* impressi *πράττειν*, atque ita codex Casauboni.

3. *ἐμποιήσειας ἐπιχειρεῖν τι ἄλλου δεδιώς M*, atque ita codex Casauboni, nisi quod habet *ἀλλ' οὐ.* *ἐμποιήσεις ὡς ἐπιχειρῶν τι ἀλλ' οὐ δεδιώς* Turicenses, qui soloece *ἐπιχειρῶν τι* pro *τινί.* deinde dicere potius debuerant *ὡς οὐ δεδιὼς ἀλλ' ἐπιχειρῶν τινί.* scripsi *τοῖς μὲν φιλίοις θάρσος ἐμποιήσεις ὥστε ἐπιχειρεῖν*, abiectis *ἀλλ' οὐ δεδιώς*, quae ad interpolatorem refero. *ἐπιχειρεῖν* absolute positum ut apud Plutarchum in Aristide 15 *ἀμυνομένοις γὰρ οἱ μάντεις νίκην προὔφαινον ἐκ τῶν ἱερῶν ὁμοίως καὶ τοῖς Πέρσαις καὶ τοῖς Ἕλλησιν, εἰ δ' ἐπιχειροῖεν, ἧτταν.* similiter Xenophon in Hipparchico V 3 *ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι, ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις ὡς μὴ ἐπίθωνται, ὅταν δ' ἐρρωμένα, θάρσος αὐτοῖς ἐμποιεῖν ὡς ἐγχειρῶσιν.*

4. Post *ἐμπαρασκευάσας* cum Casaubono inserui *ὥστε.*

5. *αὐτῶν ἠρεμεῖν M.*

6. Post *παρηγγέλθαι* plene interpunxi.

7. *εἰς τοὺς προσοίκους*] Fortasse *παρὰ τοὺς προσοίκους.* in proximis est *παρ' οὓς θήσονται.*

8. *εἰσαξόντων* Casaubonus: *εἰσαξιόντων M.*

Scripsi *ὑπάρχωσι ξένοι* : *ὑπάρξῃ ξενία M.* similiter haec correxit Reiskius. Isocrates p. 388 *ἔτυχεν αὐτοῖς ὑπεκκείμενα τὰ πλεῖστα τῆς οὐσίας παρὰ τοῖς ξένοις τοῖς ἐμοῖς.*

9. *τοὺς* Hertlinus: *πρὸς τοὺς M.*

10. *τὰ ὑπεκτιθέμενα*] *τὰ ὑπεκτιθέμενα: ΚΗΡΥΓΜΑΤΑ M.*

12. *ἕνεκεν M.* scripsi *ἕνεκα.*

13. *ἐν τῇ πόλει M.* scripsi *εἰς τὴν πόλιν.*

15. *ἀζήμια* (sic) *M*, *ἀζημία* codex Casauboni. *ἀζημίᾳ* impressi. *ἀζημίαισι* in Aeschyli Eum. 978 figmentum Robortelli est. *ἀζήμια* active intellegendum.

16. Inserui *τήν.*

17. *γίνεσθαι M.* feci *γίγνεσθαι.*

πρυτανείῳ ἢ ἐν ἄλλῳ φανερῷ τόπῳ. μηδὲ θύεσθαι μάν-
τιν ἰδίᾳ ἄνευ τῶν ἀρχόντων. μηδὲ δειπνεῖν κατὰ συσσι- 5
τίαν ἀλλ' ἐν ταῖς αὑτῶν οἰκίαις ἑκάστους, ἔξω γάμου καὶ
περιδείπνου, καὶ ταῦτα προαπαγγείλαντας τοῖς ἄρχουσιν.
ἐὰν δὲ ὦσι φυγάδες, ἐπικηρύσσειν, ὃς ἂν ἀστῶν ἢ ξένων ἢ
δούλων ἀποκινῇ, ἃ ἑκάστῳ τούτων ἔσται. καὶ ἐάν τίς τινι 6
τῶν φυγάδων συγγένηται ἢ δέξηται παρ' ἐκείνου ἐπιστολὰς
ἢ πέμψῃ, εἶναί τινα κίνδυνον ἢ ἐπιτίμιον αὐτῷ. τῶν δὲ ἐκ-
πεμπομένων καὶ εἰσαγομένων ἐπιστολῶν εἶναι ἐπισκόπους,
πρὸς οὓς οἰσθήσονται πρότερον. ὅπλα οἷς ἐστὶν ἑνὸς πλείω 7
ἀπογράφεσθαι, καὶ εἰσάγειν μηδένα μηδὲν ὅπλον, μηδὲ ἐνέ-
χυρον δέχεσθαι. στρατιώτας μὴ μισθοῦσθαι μηδὲ ἑαυτὸν
μισθοῦν ἄνευ τῶν ἀρχόντων. ἐκπλεῖν μηδένα ἀστῶν μηδὲ 8
μέτοικον ἄνευ συμβόλου, τά τε πλοῖα ὁρμίζεσθαι καθ'
ἃς πύλας τοῖς ἐχομένοις ῥηθήσεται. ξένους τοὺς ἀφικνου- 9
μένους τὰ ὅπλα ἐμφανῆ καὶ πρόχειρα φέρειν, καὶ εὐθὺς
αὐτῶν παραιρεῖσθαι, καὶ αὐτῶν μηδένα ὑποδέχεσθαι

1. πρυτανείῳ Casaubonus: πυρσανείω *M* et codex Casauboni. post πυρσανείω in *M* est ἢ ἐν βουλῇ, quod interpolatori reddidi. certe huic tribuere licebat βουλή pro βουλευτήριον positum, non Aeneae.

2. ἰδία ἄνευ τοῦ ἄρχοντος *M*. scripsi ἰδίᾳ ἄνευ τῶν ἀρχόντων. plurali Aeneas usus est p. 18, 9. 19, 7. 13. 20, 1. 3.

κατασυσσιτίαν *M*. κατὰ συσσιτίας codex Casauboni et impressi.

3. αὐτῶν *M*.

5. ὦσιν *M*.

7. ἢ παρ' ἐκείνων τισὶν ἢ ἐπιστολὰς πέμψῃ ἢ δέξηται *M*. Hertlinus coniecit ἢ ἐπιστολὰς πέμψῃ ἢ παρ' ἐκείνων δέξηται, vel ita, ut τισίν post πέμψῃ transpositum servaret. scripsi ἢ δέξηται παρ' ἐκείνου ἐπιστολὰς ἢ πέμψῃ.

9. ἐπισκόπησιν *M*. etiam hoc loco librarii, Aeneae obtrectatores, falsa ad nos detulerunt. apud Hesychium est σκοπήσεις· σκέψεις. recte Ludovicus Dindorfius σκέψει. videlicet nec σκόπησις neque ἐπισκόπησις unquam in usu fuit. neque verborum coniunctio qualis illa est, ἐπισκόπησιν πρὸς οὕς, placidum Aeneae sermonem refert. scripsi ἐπισκόπους.

10. πρὸς οὓς codex Casauboni: προὺς *M*.

οἰσθήσονται Meierus: οἰσθήσεται *M*.

11. εἰσάγειν Kirchhoffius: ἐξάγειν *M*.

13. Addidi τῶν.

14. πλοῖα προσηγγέλθαι *M*. πλοῖα παρηγγέλθαι Hertlinus. amovi ex Aeneae oratione προσηγγέλθαι, ut ab interpolatore profectum. vide ad pag. 21, 3.

16. εὐθὺς scripsi: εὐθὺ *M*.

17. παρῖσθαι *M*. παρηρῆσθαι Casaubonus. cum Reiskio scribendum erat παραιρεῖσθαι. XXX τῶν ἀφικνουμένων ἀνδρῶν παραιρεῖσθαι τὰ ὅπλα.

αὐτῶν Turicenses: αὐτοὺς *M* et codex Casauboni. falsum est quod de Mediceo scribit Orellius.

μηδὲ τοὺς πανδοκέας ἄνευ τῶν ἀρχόντων, τοὺς δὲ ἄρχον-
10 *τας ἀπογράφεσθαι καὶ παρ' ᾧτινι ἂν κατάγωνται. τὰς δὲ*
νύκτας ὑπὸ τῶν ἀρχόντων τὰ πανδοκεῖα ἔξωθεν κλείεσθαι·
διὰ χρόνου δέ τινος, ὅσοι ἂν ταλαπείριοι αὐτῶν ὦσιν, ἐκκη-
ρύττεσθαι. ὁμοτρόπως δὲ τοὺς κατὰ παίδευσιν ἢ κατ' ἄλλην
11 *τινὰ χρείαν ἐπιδημοῦντας ἀπογράφεσθαι. ταῖς δὲ δημο-*
σίᾳ ἀφικνουμέναις πρεσβείαις ἀπὸ πόλεων ἢ στρατοπέδων
οὐ χρὴ τὸν ἐθέλοντα διαλέγεσθαι, ἀλλὰ εἶναί τινας
τῶν πολιτῶν τοὺς πιστοτάτους, οἳ μετ' αὐτῶν συνδια-
12 *τελοῦσι, μέχρι ἂν ἐνδημῶσιν οἱ πρέσβεις. καὶ ὧν ἂν σπα-*
νίζῃ ἡ πόλις, σίτου ἢ ἐλαίου ἢ ἄλλου τινός, τῷ εἰσάγοντι κατὰ
πλῆθος τῶν εἰσαγομένων τόκους προκεῖσθαι καὶ στέφανον
δίδοσθαι εἰς τιμήν, τῷ δὲ ναυκλήρῳ ἀνολκὴν καὶ καθολκήν.
13 *ἐξοπλισίας τε πυκνὰς ποιεῖσθαι, καὶ ξένους τοὺς ἐνδήμους*
τὸν καιρὸν τοῦτον μεθίστασθαι εἰς χωρίον ῥητὸν ἢ κατ' οἶκον
διατελεῖν. ὃς δ' ἂν ἄλλῃ φαίνηται, ζημίαν προκεῖσθαι ὡς
14 *ἀδικοῦντι. ὅταν τε σημήνῃ, τὰ ἐμπόρια καὶ πρατή-*

1. *πανδοκέας* Meinekius: *πανδοχέας M.*

2. *καὶ παρ' ὧ τινες ὅτ' ἂν κατάγωνται M* et Casauboni codex, nisi quod is *κατάγονται*. *τινί* pro *τινές* Casaubonus. scripsi *καὶ παρ' ᾧτινι ἂν κατάγωνται.*

3. *πανδοκεῖα* Meinekius: *πανδοχεῖα M.*

4. *ὦσιν* codex Casauboni: *ὦσει M.*

5. *ὁμόρους δὲ ἢ M. ἐμπόρους δὲ ἢ* Hauptius, *ὁμήρους δὲ ἢ* Turicenses. videbatur requiri *ὁμοίως δὲ τούς* vel *ὁμοτρόπως δὲ τούς* propter *ὅπλα οἷς ἐστὶν ἑνὸς πλείω ἀπογράφεσθαι* et *τοὺς δὲ ἄρχοντας ἀπογράφεσθαι καὶ παρ' ᾧτινι ἂν κατάγωνται.* praeoptavi *ὁμοτρόπως*, quod eodem modo legitur III 3.

6. *δημοσίᾳ* Casaubonus: *δημοσίας M* et codex Casauboni.

7. *ἀπὸ πόλεων ἢ τυράννων ἢ στρατοπέδων M.* expunxi *ἢ τυράννων*. supra IX 2 *διαγγελθέντων οὖν τούτων εἰς τὸ στρατόπεδον τῶν πολεμίων ἢ τὴν πόλιν.* Diogenes Epp. XXVIII 3 *ἐπεὶ καὶ ἀδίκων χρείαν ἔχετε, ὅταν βούλησθε ὑφελέσθαι πόλιν ἢ στρατόπεδον.*

8. *οὐ χρὴ ἐν αὐτοῖς M. οὐ χρὴ ἐν ἀπορρήτοις* Turicenses. verum non id agitur, ut cives *secretos* cum urbium vel castrorum legatis sermones nectere prohibeantur, sed omnino ut civium qui voluerit ne sermonum causa ad illos adire possit. ferri possit *οὐ χρὴ αὐτόθεν*, sed satius visum est resecare *ἐν αὐτοῖς.*

ἀλλὰ εἶναι scripsi: *ἀλλ' ἀεὶ M.*

9. *συνδιατελοῦσι* Casparus Orellius: *συντελοῦσι M.*

10. *μέχρις M.* feci *μέχρι*, quae forma infra in scriptis est.

13. *καθολκὴν* Casaubonus: *καθολικὴν M* et codex Casauboni.

16. *ὃς δ' ἂν* Reiskius: *ἧι δε* (sic) *ἂν M.* sed hoc non sequente *ταύτῃ* absurdum esse patet.

17. *τε*] Immo *δέ.*

τὰ τούτοις ἐμπόρια M. expunxi *τούτοις*, neque enim satis erat corrigere *τὰ τούτων ἐμπόρια.*

ρια κλείεσθαι, καὶ τὰ λύχνα κατασβέννυσθαι. καὶ τῶν
ἄλλων μηδένα ἔτι προϊέναι. ὅταν δέ τινι ἀναγκαῖόν τι 15
συμβῇ, μετὰ λαμπτῆρος βαδίζειν. καὶ ὃς ἂν κατα-
μηνύσῃ τινὰ ἐπιβουλεύοντα τῇ πόλει, ἢ ὃς ἂν τῶν προγε-
γραμμένων τι πραττόμενον ἐξαγγείλῃ, ἀνηγγέλθαι τε αὐτῷ
ἀργύριον καὶ τὸ ἀναγγελθὲν ἐμφανῶς προκεῖσθαι ἐν ἀγορᾷ
ἢ ἐπὶ βωμοῦ ἢ ἐν ἱερῷ, ἵνα προχειρότερόν τις τολμήσῃ μη-
νύειν τι τῶν προγεγραμμένων. ἐπὶ δὲ μονάρχῳ ἢ στρατηγῷ 16
φυγάδι χρὴ καὶ τάδε προκηρύττεσθαι.* * ἐὰν δέ τι καὶ αὐτὸς
πάθῃ ὁ ἀποκτείνας, τοῖς τέκνοις αὐτοῦ ἀποδίδοσθαι τὸ ἀναγ-
γελθὲν ἀργύριον· ἐὰν δὲ μὴ ᾖ τέκνα, τῷ ἐγγυτάτω γένους.
καὶ ἐάν τις τῶν συνόντων τῷ φυγάδι ἢ μονάρχῳ ἢ στρατηγῷ 17
πράξῃ τι τῶν προκειμένων,* * ἀποδίδοσθαι, καὶ κάθοδον αὐτῷ
εἶναι· διὰ γὰρ ταῦτα προχειροτέρως ἂν ἐγχειροῖεν. ἐν δὲ 18

1. *λύχνα* Casaubonus: *ἴχνη* *M* et codex Casauboni.

2. *προϊέναι* scripsi: *παρειναι* sine accentu *M*, ita, ut *ει* in rasura sit. infra XXII 23 *κατὰ δὲ τοὺς καιροὺς τούτους καὶ οὕτω περὶ τὰς φυλακὰς διατελούντων παραγγελλέσθω τῷ ἄλλῳ ὄχλῳ, ὅταν σημανθῇ, μηδένα ἐξιέναι.* unde apparet nostro loco *τοὺς ἄλλους* de hominibus ad arma inutilibus intellegendum esse.

3. Post *βαδίζειν* in manu scriptis est *ἕως ἂν παραγγελθῇ*, quae verba Casaubonus ita interpretatus est, *donec praeceptum fuerit, ne quis exeat.* quod uti fieri posse nego, ita conveniens fuerit sententiam istam sic exprimi, *ἕως ἂν παρηγγελμένον ᾖ*, vel potius ita, *ἕως ἂν ἡ πολιορκία παρέλθῃ.* quamquam hoc scire quid prodest? nam illata ista post *τὸν καιρὸν τοῦτον*, quibus verbis tempus significatur, quo in urbis obsidione perseveratur, tam non sunt necessaria, ut prorsus supervacanea sint. neque ulli praeterea praecepto, qualia plurima hoc capite traduntur, eiusmodi sententiam Aeneas attexuit, neque admisit capite XXII, ubi similia narrantur, *ἐὰν δέ τις ἐξίῃ ἐπί τινα πρᾶξιν ἀναγκαῖον, μετὰ λαμπτῆρος βαδίζειν, ἵνα πόρρωθεν κατάδηλος ᾖ τοῖς περιοδεύουσιν.* non dubito, quin emblema teneamus, ad eundem illum referendum, qui *προσηγγέλθαι* inculcavit § 8 et *παρήγγειλεν ἐν πᾶσιν* et *διὰ γὰρ τὸν φόβον τοῦ παραγγελθέντος οὐδένα ᾤετο ἂν ἀμνημονήσειν* XXVII 8.

4. *ὃς ἂν τῶν προγεγραμμένων τι* ego: *ὅ τι ἂν τῶν προγεγραμμένων τις* *M*. post pauca est *τι τῶν προγεγραμμένων.*

6. *ἀναγγελθὲν* Kirchhoffius: *ἀγγελθὲν* *M*.

8. *ἢ στρατηγῷ φυγάδι* Kirchhoffius: *ἢ στρατηγῷ ἢ φυγάδι δυναστεύοντι* *M*. emblema sequentia demonstrant *καὶ ἐάν τις τῶν συνόντων τῷ φυγάδι ἢ μονάρχῳ ἢ στρατηγῷ πράξῃ τι τῶν προκειμένων.*

9. Orationis hiatum significarunt Turicenses.

10. *ἀναγγελθὲν* Kirchhoffius: *ἀγγελθὲν* *M*.

11. *γένους* Kirchhoffius: *γενομένῳ* *M*.

13. Mancam orationem esse indicavi.

14. *ἐν* Casparus Orellius: *ἐὰν* *M*.

ξενικῷ στρατοπέδῳ τοιάδ' ἀναγγείλαντα σιγὴν πάντων ἀκουόν-
19 των κηρῦξαι. καὶ ἐάν τις βούληται ἀπιέναι μὴ ἀρεσκόμενος τοῖς
παροῦσιν, ἐξεῖναι ἀπαλλάττεσθαι, ἀλλ' ὕστερον πεπωλήσεται·
ἐὰν δέ τις φαίνηται βλάπτων τι τὸ στράτευμα ἢ διαλύων τὸ
20 στρατόπεδον, θάνατος ἔστω ἡ ζημία. μετὰ δὲ ταῦτα τῶν
ἄλλων ἐξετάσεων ἐπιμέλειαν ποιητέον. καὶ πρῶτον μὲν
ἐπισκεπτέον εἰ ὁμονοοῦσιν οἱ πολῖται, ὡς ἂν ὄντος μεγί-
στου τούτου ἀγαθοῦ ἐν πολιορκίᾳ· εἰ δὲ μή, τοὺς τὰ ἐναντία
φρονοῦντας τοῖς παροῦσι πράγμασι καὶ μάλιστ' ἂν ἡγεμόνας

1. *ἀναγγείλαντα* Kirchhoffius: *ἀναγγείλαντι M.*

2. *καὶ ἐάν τις βούληται* scripsi: *εἴ τις βούλεται M.*

4. Miror interpretes non expavisse personatum Aeneam. duo commemorantur imperia certa ac definita et natura sua inter se coniunctissima, *ἐάν τις βούληται ἀπιέναι μὴ ἀρεσκόμενος τοῖς παροῦσιν, ἐξεῖναι ἀπαλλάττεσθαι, ἀλλ' ὕστερον πεπωλήσεται*, et *ἐὰν δέ τις φαίνηται βλάπτων τι τὸ στράτευμα ἢ διαλύων τὸ στρατόπεδον, θάνατος ἔστω ἡ ζημία*, quorum prius statuitur in hominem novarum rerum cupidum, sed eundem inertem et nihil agentem, posterius in facinorum auctorem. his interpolator inseruit quod in scriptis post *πεπωλήσεται* habetur *τὰ δ' ἐλάσσω τούτων ἀδικήματα κατὰ τὸν νόμον τὸν προκείμενον δεσμὸς ἢ* (*ἡ* Orellius) *ζημία*, quae verba et absurda sunt et imperfecte conscripta. nam magno cum nostro stupore legimus eum, qui minora quam iners ille, cui volenti licet ex urbe exire, peccata commiserit, hoc est, qui ne sentiat quidem contra rempublicam, in vincula coniciendum atque ita graviore quam qui maiora deliquerit poena afficiendum esse. inepte etiam post *ἀγγείλαντα σιγὴν πάντων ἀκουόντων κηρῦξαι* adicitur *κατὰ τὸν νόμον τὸν προκείμενον*, cuiusmodi lex antea nulla commemorata est. neque ullam in simplicissimo enuntiato excusationem habent nominativi absoluti *τὰ ἐλάσσω ἀδικήματα*, neque plena sunt *δεσμὸς ἡ ζημία*, ad quae complenda non sufficit cogitatione addi *ἐστί*, sed cum antecedat *πεπωλήσεται* et subsequatur *ἔστω*, hoc ipsum *ἔστω* aut saltem *ἔσται* inseri oportebat. denique ne illud quidem satis apparet, masculine *τούτων* an neutraliter accipiendum sit. adscripserat interpolator sententiolam suam ad verba *ἐὰν δέ τις φαίνηται βλάπτων τι τὸ στράτευμα θάνατος ἔστω ἡ ζημία*, in aliena sede defixit librarius.

ἢ in codice Casauboni supra versum adscriptum eadem manu, ut videtur. abest a *M.*

5. *ἡ* Casauboni codex: *ἢ M.*

τῶν ἄλλων τάξεων ἐπιμέλειαν ποιητέον M. πράξεων pro *τάξεων* Meinekius. scripsi *τῶν ἄλλων ἐξετάσεων ἐπιμέλειαν ποιητέον*, *ceterae tentationes atque explorationes accuratissimo iudicio instituendae sunt.* Thucydides II 7, 3 *Ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον καὶ ἐς τὰ περὶ Πελοπόννησον μᾶλλον χωρία ἐπρεσβεύοντο, ὁρῶντες εἰ σφίσι φίλια ταῦτ' εἴη βεβαίως.* Demosthenes de Cor. 310 *τούτων γὰρ ἁπάντων ἦν ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις.*

6. Inserui *μέν*.

8. *τοὺς τὰ ἐναντία φρονοῦντας* Reiskius: *τῶν τὰ ἐναντία φρονούντων M.* mox dedi *μάλιστ' ἂν* pro *μάλιστα*, quod in manu scriptis est.

τε καὶ αἰτίους γενομένους τῇ πόλει πράξεώς τινος μεθιστά-
ναι ἀνυπόπτως, μετὰ προφάσεως εὐλόγου ἐκπέμποντα ἄλλῃ
ὡς πρέσβεις τε καὶ ἐπ᾽ ἄλλας δημοσίας ἐργασίας. οἷον καὶ 21
Διονύσιος ἔπραξε Λεπτίνην τὸν ἀδελφὸν αὐτοῦ, ἔχοντα Συρα-
κοσίων τῷ πλήθει οἰκείως. γενόμενος γὰρ αὐτῷ ἐν ὑποψίᾳ
τινί, καὶ θέλων αὐτὸν μεταστήσασθαι, φανερῶς μὲν οὐκ ἐπε-
χείρει ἐκβάλλειν αὐτόν, γνοὺς ὅτι περὶ αὐτὸν πολλὴ μετ᾽ εὐ-
νοίας ἰσχὺς ἔσοιτο καὶ νεώτερον ἄν τι γένοιτο, τεχνάζει δὲ
τοιόνδε. πέμπει αὐτὸν μετὰ ξένων ὀλίγων εἰς πόλιν ὄνομα 22
Ἱμέραν, κελεύων φρουρὰν τὴν μὲν ἐξαγαγεῖν τὴν δ᾽ ἐγκατα-
στῆσαι. γενομένου δὲ αὐτοῦ ἐν τῇ Ἱμέρᾳ, πέμψας ἐκέλευσεν
αὐτὸν περιμένειν, μέχρι ἂν αὐτὸς μεταπέμψηται. πόλεως δ᾽ 23
ὁμηρευομένης, ὅταν ἐπ᾽ αὐτὴν στρατεία γίγνηται, τοὺς γονέας
τῶν ὁμηρευόντων καὶ τοὺς ἐγγυτάτω γένους μεθίστασθαι ἐκ
τῆς πόλεως, ἄχρι ἂν ἡ πολιορκία παρέλθῃ, ἵνα μὴ ἐφορῶσιν
ἐν ταῖς προσαγωγαῖς τῶν πολεμίων τοὺς αὐτῶν παῖδας συμ-
προσαγομένους καὶ τὰ ἔσχατα πάσχοντας· ἐγχωρεῖ γὰρ αὐ-
τοὺς ἔνδον ὄντας καὶ ὑπεναντίον τι πρᾶξαι. ἐὰν δὲ ἄρα 24
δυσχερὲς ᾖ μετὰ εὐλόγων προφάσεων ἐκπέμπειν, ἐᾶν διάγειν
αὐτοὺς ὡς ἐλαχίστων μετέχοντας ἔργων καὶ πράξεων καὶ μήτε
ὅπου ἔσονται μήτε ὅ τι πράξουσι προειδότας καὶ ὡς ἥκιστα

1. ἐν τῇ πόλει *M.* expunxi ἐν. μεθιστάναι ego: μεθιστάναι αὐτοὺς *M.*

4. Συρακοσίων Meinekius: συρακουσίων *M.* quae in scriptis post οἰκείως leguntur καὶ ὁρῶν κατὰ πολλὰ ἰσχυρὸν αὐτὸν ὄντα, orationis concordiam divellunt. ego non dubito quin et huic loco interpolator pravam opellam praestiterit. effinxit sua ex proximis γνοὺς ὅτι περὶ αὐτὸν πολλὴ ἰσχὺς ἔσοιτο. post γενόμενος inserui γάρ. ἐν adiecit Casaubonus. ceterum errare Haasium pro γενόμενος conicientem γενόμενον, iure Turicenses observarunt. afferunt III 3 ἐν ὑποψίᾳ πρὸς ἀλλήλους ὦσι. poterant item XXVI 6 ἐν ὑποψίᾳ ὄντων ἀλλήλοις.

10. ἱμέραν (ἱ in rasura) *M.* δ᾽ ἐγκαταστῆσαι Meinekius: δὲ καταστῆσαι *M.*

11. ἱμέρᾳ *M.*

12. μέχρις *M.* scripsi μέχρι.

13. ὅτ᾽ ἂν *M.* στρατεία Hertlinus: στρατιᾶ *M.* γίνηται *M.* gamma inserui. γονέας scripsi: γονεῖς *M.*

14. ἐγγυτάτω γένους Kirchhoffius: ἐγγὺς τὰ γένη *M.*

15. Scripsi ἄχρι: ἄχρις *M.*

16. αὐτῶν *M.*

18. ἐὰν δὲ ἄρα δυσχερὴς μετὰ τῶνδε τῶν προφάσεων *M.* recte Casaubonus δυσχερές. a Turicensibus sumpsi ᾖ. pro τῶνδε τῶν edidi εὐλόγων.

19. ἐᾶν διάγειν ego: συνδιάγειν *M.*

20. ἐλαχίστων] Ita *M.* impressi ἐλάχιστον.

21. πράξουσιν *M.* προειδότας scripsi: προειδέναι *M.*

ἐπὶ σφῶν αὐτῶν διατελοῦντας καὶ νύκτα καὶ ἡμέραν, ἢ καὶ ἄλλας ἐπ' ἄλλαις πράξεις καὶ λειτουργιῶν αὐτοῖς πλῆθος
25 *ἐπιρριπτεῖν ἀνυπόπτως. ἔστωσαν δὲ διειλημμένοι εἰς παρατήρησιν· οὕτω γὰρ ἂν διακείμενοι ἥκιστα ἂν δύναιντο νεωτερίσαι. ἔτι τοίνυν μήτε εἰς τὰς ἐκκοιτίας λαμπτῆρας ἐπιφέρεσθαι μήτε ἄλλο νυκτερινὸν φέγγος· ἤδη γάρ τινες, ἐπεὶ πάντῃ ἐξείργοντο, μήτε νεωτερίσαι ἔχοντες μήτε πρὸς τοὺς*
26 *πολεμίους τι πρᾶξαι, τοιόνδε ἐτέχνασαν. ἐν γὰρ τοῖς καλάθοις καὶ στρώμασιν ἐπιφερόμενοι εἰς τὰς φυλακὰς λύχνα οἳ δὲ δᾷδας οἳ δὲ λαμπτῆρας, διὰ τούτων τῶν φεγγῶν σύσσημα ἐποιήσαντο.*

1. *ἐπισφῶν M.*
διατελοῦντας scripsi: *διατηροῦντας M.*
Inserui *ἤ*.
2. *ἄλλαις* Meierus: *ἄλλας M.*
λειτουργίας αὐτοῖς τὸ πλῆθος ἐπιρρεῖν ἀνυπόπτως μεθ' ὧν ὄντες ἐν φυλακῇ μᾶλλον ἔσονται ἢ φυλάξουσί τι M. scripsi *λειτουργιῶν αὐτοῖς πλῆθος ἐπιρριπτεῖν* et interpolatori reddidi *μεθ' ὧν ὄντες ἐν φυλακῇ μᾶλλον ἔσονται ἢ φυλάξουσί τι.* pertinent ista ad *ἔστωσαν δὲ διειλημμένοι εἰς παρατήρησιν*, quae ita interpretatus est interpolator, ut excubias vel stationes intellegeret, quarum munus parentibus obsidum ac propinquis obeundum esset una cum aliis, qui eorum consilia observarent dividerentque eos, ne de prodenda republica conspirare possent. legerat ille excubias liturgiis adnumerari c. XI 10 *καὶ εἰς τὰς φυλακὰς καὶ εἰς τὰς ἄλλας λειτουργίας φοιτῶσιν οἱ πλούσιοι.* praepostere adiecit *τι.* idem *ὧν* ad *τοὺς παρατηρήσοντας* rettulit, quos ex *παρατήρησιν* derivavit. similiter ipse Aeneas XXII *μὴ οὖν προειδόντων ὅπου τοῦ τείχους ἔσονται μήτε μεθ' ὧν.* iam facile ad intellegendum est, quam male Turicenses *ὧν* redire voluerint ad *λειτουργίας*.
3. Malim *ἔστων*.
ὡσεὶ παρὰ τρισὶν M. egregie Turicenses *ὡς εἰς παρατήρησιν*, nisi quod secludendum erat *ὡς*.
5. *μὴ δὲ M.*
εἰς τὰς κοίτας λαμπτῆρας φέρεσθαι M. pro *κοίτας*, quod *cubilia* significat, *ἐκκοιτίας* scribendum esse *εἰς τὰς φυλακάς* monstrat, quod in locum verborum *εἰς τὰς κοίτας* suffectum est. *ἐκκοιτίας καὶ φυλακάς* iunxit Philo de Telorum Constr. V. p. 93. tum non *φέρεσθαι* verum est sed *ἐπιφέρεσθαι*.
6. *μὴ δὲ M.*
7. *ἐξείργονται M.* correxit Reiskius.
μὴ δὲ νεωτερίσαι θέλοντες μὴ δὲ M. scripsi *μήτε νεωτερίσαι ἔχοντες μήτε.*
8. *ἐτέχνασαν* ego: *τεχνάζουσι M.* aoristum restitui propter *ἤδη δὲ καί* et *ἐποιήσαντο.* proxime relictum est triste et miserum genus orationis, varietate vitiorum conspicuum, ut paene nescias cui primum rei occurras. in *M* est *σὺν γὰρ τοῖς ἀκολούθοις καὶ στρώμασι φερομένοις εἰς τὰς φυλακὰς λύχνα οἱ δὲ δᾷδας οἱ δὲ λαμπτῆρας ἵνα δὲ πρός τι κοιτασθῶσιν τοῦτον τὸν φεγγαῖον σύσσημον ἐποιήσαντο διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν. καλάθοις* pro *ἀκολούθοις* Casparus Orellius. cetera meo periculo mutavi. *πρός τι κοιτασθῶσι* videtur natum esse ex *εἰς τὰς κοίτας.* de extremis verbis dixi ad XI 5.

Ἔτι δὲ καὶ τῶν πολιτῶν τοῖς ἀντιπροθυμουμένοις προσ- 11
έχειν τὸν νοῦν καὶ μηδὲν εὐθέως ἀποδέχεσθαι διὰ τάδε.
ῥηθήσονται δὲ ἑξῆς αἱ ἐπιβουλαὶ ἐκ τῆς ** βίβλου παρα- 2
δείγματος ἕνεκα, ὅσαι κατὰ πόλιν ἐξ ἀρχόντων ἢ ἰδιωτῶν
γεγόνασι, καὶ ὡς ἔνιαι αὐτῶν κωλυθεῖσαι διελύθησαν. Χίου 3
γὰρ μελλούσης προδίδοσθαι, τῶν ἀρχόντων τις, συμπροδιδοὺς
καὶ ἀπατῶν τοὺς συνάρχοντας, ἔπεισε λέγων, ὡς, ἐπειδὴ εἰ-
ρήνη εἴη, τοῦ τε λιμένος τὸ κλεῖθρον εἰς γῆν ἀνασπάσαντας
ξηρᾶναι δεῖ καὶ πισσαλοιφῆσαι καὶ τὰ παλαιὰ τῶν νεῶν
ἄρμενα ἀποδόσθαι, τῶν τε νεωρίων ἐπισκευάσασθαι τὰ
σαθρά, καὶ τὴν ἐχομένην αὐτῶν στοὰν καὶ τὸν πύργον, ἐν ᾧ
διῃτῶντο οἱ ἄρχοντες, ἐχόμενον τῆς στοᾶς, ἵνα ἐκ προφάσεως
κλίμακες προσπορισθῶσι τοῖς μέλλουσι καταλαμβάνειν τὰ
νεώρια καὶ τὴν στοὰν καὶ τὸν πύργον. ἔτι δὲ συνεβούλευε 4
καὶ τὸ πλῆθος τῶν τὴν πόλιν φυλασσόντων ἀπόμισθον ποιῆ-
σαι, ἵν᾽ ὡς ἐλάχιστον δῆθεν ἀνάλωμα τῇ πόλει ᾖ. καὶ ἄλλα 5
τούτοις ὁμότροπα λέγων ἔπεισε τοὺς συνάρχοντας ἅπερ ἔμελλε

1. *τοῖς δεῖ* × (sic) *ἀντιπροθυμούμένοις M*, *τοῖς δει ἀντιπροθυμουμένοις* Casauboni codex. *δεῖ τοῖς*, quod in impressis est, Casaubono debetur. expunxi *δεῖ*, quod aliena manu invectum est. *ἀντιπροθυμεῖσθαι* hoc uno loco legitur. malim *ἀντιπολιτευομένοις*.

2. *διὰ τάδε*] Deleta malim.

3. *τῆς βίβλου M*. suspicatur Casaubonus librum intelligi, quem Aeneas 'titulo *Ἀκουσμάτων* composuerat'. asteriscos posuerunt Turicenses. videtur excidisse *ποριστικῆς*.

4. *ἕνεκεν M*. scripsi *ἕνεκα*.
ἐξαρχόντων M.

7. *συνάρχοντας* Casaubonus: *ἄρχοντας M*. post pauca est *ἔπεισε τοὺς συνάρχοντας*.

9. *ξηρᾶναι*] Ita *M*. *ξηράναι* impressi.
νεῶν] Ita *M*. *νηῶν* impressi.

10. *τῶν τε νεωρίων ἐπεσκευάσθαι τὰ στάζοντα M*. non haeserunt interpretes in *τῶν νεωρίων τὰ στάζοντα*, etsi vix opus est ut demonstretur non posse eo significari tecta cadentes aquas non amplius propellentia vel putrium aedificiorum iuncturas diductas. in Hermae vol. 2. p. 70 proposui *τῶν νεωρίων τὰ σκάζοντα*, ut opera labantia intellegerentur ac suscipienda, haud aliter ac *δόμον σκάζοντα* dixit poeta Anthologiae Pal. I 2, 3. sed tamen convenientius erit scripsisse *σαθρά*. praeterea corrigendum erat *ἐπισκευάσασθαι*. hoc enim suadebant aoristi *ξηρᾶναι πισσαλοιφῆσαι ἀποδόσθαι*.

12. *ἐκ προφάσεως*] *ἐξ εὐλόγου προφάσεως* Meinekius.

13. *προσπορισθῶσιν M*.

16. *ᾖ* Casaubonus: *ἦ M*. frustra Turicenses *εἴη*. ita paulo ante post praeteritum infertur *ἵνα προσπορισθῶσι* et mox *ἵνα μὴ ταραχθῇ*. dixit de hoc coniunctivo Dittenbergerus in Hermae vol. 1. p. 416.

17. Post *συνάρχοντες* nescio an inserendum sit *ποιῆσαι*.

ἔμελλον M. pluralem pro singulari positum Orellius narrat. sed

τοῖς προδιδοῦσι καὶ ἐπιτιθεμένοις συνοίσειν πρὸς τὴν κατά-
6 ληψιν. ἅμα δὲ τοῦ τείχους ἐκδήσας κατεκρέμασε δίκτυα ἐλά-
φεια καὶ ˎσύεια, ὡσεὶ ξηρᾶναι θέλων, καὶ ἄλλῃ ἱστία ἔξω
τοὺς κάλους ἔχοντα, καθ᾽ ἅπερ ἐν νυκτὶ ἀνέβησαν οἱ στρα-
7 τιῶται. πρὸς δὲ ἀντιστασιώτας τοιόνδε ἐπράχθη ἐν Ἄργει.
μελλόντων γὰρ τῶν πλουσίων τὴν δευτέραν ἐπίθεσιν ἐπιτί-
θεσθαι τῷ δήμῳ καὶ ξένους ἐπαγομένων, ὁ τοῦ δήμου προ-
στάτης, προαισθόμενος τὸ μέλλον, τῶν ἐπιθησομένων τῷ
δήμῳ ἄνδρας δύο προσποιησάμενος φίλους εἶναι ἀπορρήτους,
πολεμίους αὐτῷ καθίστη ὁρατούς, καὶ ἐποίει κακῶς ἐν
τῷ φανερῷ, σιγῇ δὲ τὰ τῶν ἐναντίων βουλεύματα ἤκουε παρ᾽

dediscendae eiusmodi superstitiones. scripsi *ἔμελλεν*.

1. *ἐπιτιθεμένοις* Turicenses: *ἐπιθεμένοις* M.

Eieci verba in scriptis post *κατάληψιν* addita *ὥστε ἀεὶ δεῖ προσέχειν τοῖς τὰ τοιαῦτα τελειοῦν σπουδάζουσιν*, quae rectius post *ἀνέβησαν στρατιῶται* legi Meierus censet, suo ac proprio loco legi affirmant Turicenses. indicabo eiusdem generis cetera emblemata, quae ad unum omnia eidem interpolatori debentur. XXII 7 *διὸ δεῖ τὰ τοιαῦτα μὴ ἀγνοεῖν*. XXIII 5 *διὸ δεῖ μηδὲν τῶν τοιούτων παρορᾶν*. XVIII 23 *διὸ δεῖ πάντα τὸ τοιαῦτα προνοεῖν*. X 26 *διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν*. XXIII 11 *διὸ δεῖ πάντα τὰ τοιαῦτα ὑποπτεύειν καὶ μὴ ἀλογίστως νύκτωρ εἰς πολεμίους ἔξοδον πλήθους ποιεῖσθαι*. XVII 4 *διὸ δὴ* (*δεῖ* Casaubonus) *τὰς τοιαύτας ἐπιβουλὰς ἐν οὐδενὶ καιρῷ ἀφυλάκτως διακεῖσθαι*. XXX 2 *διὸ δεῖ τὰ εἰσαφικόμενά τε καὶ ἠθροισμένα ὅπλα μὴ ἐκφέρεσθαί τε εἰς τὴν ἀγορὰν καὶ νυκτερεύειν ὅπου ἂν τύχῃ ἀλλὰ πλὴν δείγματος ὅσον δ᾽ ἄλλο πλῆθος ἐκτίθοιτό τις εἶναι δημόσια κρίνειν*. XVIII 22 *ταῦτα δεῖ οὖν συμβαλλόμενον πάντα φυλάττεσθαι καὶ τὰς πύλας αὐτὸν τὸν ἄρχοντα κλείειν καὶ μὴ ἄλλῳ διδόναι τὴν βάλανον*.

2. *ἅμα δὲ τοῦ τείχους ἐπιδήσας κατεκρέμασε* M. *ἐκδήσας* Hauptius

3. *ξηράναι* M.

ἱστία Casparus Orellius: *σύεια* M.

4. *καθάπερ* M.

οἱ adieci. supra IV 1 *καὶ δεξάμενος ταύτῃ τοὺς στρατιώτας*.

7. *ἐπαγομένων*] *συναγομένων* Meinekius. scribi poterat *εἰσαγομένων*, qua voce Aeneas paulo infra utitur. sed nihil mutandum est. XII 5 *ἐ π α γ α γ ό μ ε ν ο ι γὰρ ξ έ ν ο υ ς πλείονας τοῦ προσήκοντος πρῶτον μὲν τοὺς ἀντιστασιώτας ἀνεῖλον, ἔπειτα αὐτοὺς καὶ τὴν πόλιν ἀπώλεσαν τυραννευθέντες ὑπὸ τοῦ ε ἰ σ α γ α γ ό ν τ ο ς τ ο ὺ ς ξ έ ν ο υ ς*. in eiusdem capitis § 4 est *δύναμις ἐπακτός*.

8. *τὸ μέλλον τῶν ἐπιθησομένων τινὰς τῶν ὑπεναντίων ὄντων τῷ δήμῳ* M. seclusi emblema. Aeneas non *τῶν ὑπεναντίων ὄντων* dixisset, sed *τῶν ὑπεναντία θελόντων* vel *φρονούντων*.

10. *καθίστησιν* M. correxit Reiskius.

ὁρατούς Turicenses: *αὐτούς* M. XXIII 4 *τὰς μὲν πύλας ἀνέδειμαν ὁρατῶς τοῖς πολεμίοις*.

11. *σιγῇ*] Requiritur *ἰδίᾳ*, nisi *σιγῇ* dictum eodem sensu quo in formulis *σιγῇ τοῦ Αἰθίοπος*, *σιγῇ φίλων* apud Herodotum.

τὰ τῶν scripsi: *τὸ ἐκ τῶν* M et codex

αὐτῶν. ἐπεὶ δὲ ἐπὶ τῷ εἰσάγεσθαι τοὺς ξένους ἦσαν οἱ 8
πλούσιοι, καὶ εἰς τὴν ἐπιοῦσαν νύκτα ἔμελλε τὸ ἔργον ἔσε-
σθαι, ἔδοξε τῷ τοῦ δήμου προστάτῃ τάχιστα ἐκκλησίαν συνα-
γαγεῖν καὶ τὸ μὲν μέλλον μὴ προειπεῖν, ἵνα μὴ πᾶσα ἡ πόλις
ταραχθῇ, εἰπεῖν δὲ ἄλλα τε καὶ ὅτι συμφέρον εἴη ἐν τῇ
ἐπιούσῃ νυκτὶ σὺν τοῖς ὅπλοις πάντας ὁμοίως παρεῖναι
ἐν τῇ αὐτοῦ φυλῇ ἕνα ἕκαστον. ἐὰν δέ τις ἄλλῃ τὰ ὅπλα 9
ἐξενεγκάμενος φανῇ, ὡς προδότης καὶ ἐπιβουλεύων τῷ δήμῳ
πασχέτω τι. παραπλησίως δὲ ἐν Ἡρακλείᾳ τῇ ἐν τῷ Πόντῳ 10
οὔσης δημοκρατίας καὶ ἐπιβουλευόντων τῶν πλουσίων τῷ
δήμῳ καὶ μελλόντων ἐπιτίθεσθαι, προγνόντες οἱ προστάται
τοῦ δήμου τὸ μέλλον, οὐσῶν αὐτοῖς τριῶν φυλῶν καὶ τριά-
κοντα ἑκατοστύων, ἔπεισαν τὸ πλῆθος ἑξήκοντα θεῖναι ἑκα-
τοστύας, ἵνα ἐν ταύταις καὶ εἰς τὰς φυλακὰς καὶ εἰς τὰς ἄλ-
λας λειτουργίας φοιτῶσιν οἱ πλούσιοι. ὁμότροπον δέ τι 11

Casauboni. τὰ ἐκ τῶν Casaubonus.

1. ἐπὶ scripsi: ἐν M.

οἱ πλούσιοι ἅμα δὲ καὶ τῶν ἐν τῇ πόλει τινὲς ἦσαν ἕτοιμοι manu scripti, quasi optimates non et ipsi τοῖς ἐν τῇ πόλει adnumerandi sint. praeterea memini Aeneam de solis peregrinis arciendis narrare, non de auxilio ex plebecula habendo. rectissime infra § 14 Aeneas οἵ τε ἄλλοι στρατιῶται τὰ ὅπλα ἐξενέγκαντο καὶ τῶν Κερκυραίων οἱ ἐπιβουλεύοντες, id est οἱ πλούσιοι. expunxi emblema.

2. ἔμελλεν M.

3. τάχιστα Casaubonus: ταχίστην M, atque ita codex Casauboni, in quo est ταχι^τ'.

4. μὲν inserui.

5. εἰπεῖν Turicenses: εἰπόντα M.

6. πάντας ὁμοίως scripsi: πάντας μὲν οὓς M. πάντας ἔχει οὓς codex Casauboni, unde hic fecit πάντας οἷς ἔχει.

7. φυλῇ ὄντας ἑκατὸν M. ἕκαστον Meierus. pro ὄντας scripsi ἕνα.

ἐὰν δέ τις ἄλλῃ τὰ ὅπλα ἐξενεγκάμενος φανῇ ego: ἐὰν δέ τις ἄλλως ἐκθῆται τὰ ὅπλα ἢ ἄλλῃ ἐξενεγκάμενος φανῇ libri manu scripti. literae ἐκθῇ in M prope evanidae. vide X 13.

9. Interpolatoris sunt quae post πασχέτω τι in scriptis adiciuntur τοῦτο δὴ αὐτὸ ἵνα κατὰ τὰς φυλὰς ὄντες οἱ πλούσιοι μὴ δύνωνται εἰς ταὐτὸ ἀθροισθέντες μετὰ τῶν ξένων ἐπιθέσθαι ἀλλ' ἐν ταῖς φυλαῖς ὄντες διακεχωρισμένοι ὦσιν ἐν πολλοῖς ὀλίγοι φυλέταις καλῶς δὲ δοκεῖ καὶ ἀγχινόως μετ' ἀσφαλείας διαλῦσαι τὸ μέλλον. puto rem non flagitare plurium argumentorum enumerationem. de extremis verbis dixi ad XXXI 9. simillima iis sunt quae eidem interpolatori tribuo XVIII 11.

12. τριάκοντα Haasius: τεσσάρων M.

13. εἶναι M. scripsi θεῖναι.

15. Post οἱ πλούσιοι expunxi quae in scriptis sunt συνέβαινεν καὶ ἐνταῦθα διεσκεδασμένους εἶναι τοὺς πλουσίους καὶ ἐν ταῖς ἑκατοστύσιν ὀλίγοις (ὀλίγους Casaubonus, cuius codex ὀλίγοις, ut Mediceus) ἑκάστοθι παραγίνεσθαι ἐν πολλοῖς δημόταις.

12 τούτῳ κατέλαβεν ἐν Λακεδαίμονι γενέσθαι. μηνυθείσης γὰρ
ἐπιβουλῆς τοῖς ἄρχουσιν ὅτι ὅταν ὁ πῖλος ἀρθῇ ἐπιθήσονται,
ἔπαυσαν τοὺς ἐγχειροῦντας ἐπιθέσθαι, κήρυγμα ἀναγγείλαν-
13 τες τοὺς τὸν πῖλον μέλλοντας αἴρειν μὴ ἆραι. ἐν Κερκύρᾳ
δὲ ἐπανάστασιν δέον γενέσθαι ἐκ τῶν πλουσίων καὶ ὀλιγαρ-
χικῶν τῷ δήμῳ (ἐπεδήμει δὲ καὶ Χάρης Ἀθηναῖος φρουρὰν
ἔχων, ὅσπερ συνήθελε τῇ ἐπαναστάσει) ἐτεχνάσθη τοιόνδε.
14 τῶν τῆς φρουρᾶς τινὲς ἄρχοντες σικύας προσβαλόμενοι καὶ
τομὰς ἐν τῷ σώματι ποιησάμενοι καὶ αἱματωθέντες ἐξέδρα-
μον εἰς τὴν ἀγορὰν ὡς πληγὰς ἔχοντες, ἅμα δ' αὐτοῖς εὐθὺς
προπαρεσκευασμένοι οἵ τε ἄλλοι στρατιῶται τὰ ὅπλα ἐξη-
15 νέγκαντο καὶ τῶν Κερκυραίων οἱ ἐπιβουλεύοντες. τῶν δ' ἄλ-
λων ἀγνοούντων τὸ πρᾶγμα καὶ εἰς ἐκκλησίαν παρακληθέν-
των συνελαμβάνοντο οἱ προστάται τοῦ δήμου, ὡς τῆς ἐπα-
ναστάσεως γενομένης ἐξ αὐτῶν, καὶ τὰ ἄλλα μεθίστασαν πρὸς
τὸ συμφέρον αὐτοῖς.

12 Χρὴ δὲ καὶ συμμάχων εἰς τὴν πόλιν ** μήποτε ἅμα διατελεῖν τοὺς συμμάχους, ἀλλὰ διεσκεδάσθαι ὁμοτρόπως τοῖς

1. *κατέλαβεν* scripsi: *καὶ παλαιὸν M.* *γενέσθαι* codex Casauboni: *γίνεσθαι M.*

2. *πῖλος* Casaubonus: *πηλὸς M* et codex Casauboni.

4. *πῖλον* Casaubonus: *πηλὸν M* et codex Casauboni.

αἴρειν scripsi: *ἆραι M.* recte Polyaenus II 14, 2 *οἱ τὸν πῖλον αἴρειν μέλλοντες ἐκ τῆς ἀγορᾶς ἄπιτε.*

Κερκύρᾳ Casaubonus: *κορκύρα M* et codex Casauboni.

6. *ἐπεδήμει* Casaubonus: *ἐπιδημεῖ* an *ἐπιδημεὶ M* incertum. *ἐπιδημεῖ* codex Casauboni.

Χάρης Ἀθηναῖος] Ita *M.* articulum, qui in impressis est, interseruit Casaubonus, cuius codex a Mediceo non discrepat.

7. *ὅσπερ* Casaubonus: *ὥσπερ M* et codex Casauboni.

συνήθελεν M.

8. *προσβαλόμενοι* Casaubonus: *προβαλλόμενοι M.*

12. *Κερκυραίων* Casaubonus: *κορκυραίων M* et codex Casauboni.

δ' adiecit Casaubonus.

14. *τῆς* inserui.

15. *γενομένης* Meinekius: *γινομένης M.*

μεθῖστασαν M.

17. In *M* lemma est *ΠΕΡΙ ΣΥΜΜΑΧΩΝ Α ΔΕΙ ΠΡΟΝΟΕΙΝ.*

Post *πόλιν* excidisse *βοηθησάντων* vel *ἐλθόντων* Casaubonus adnotavit. rectius suppleveris *ἐπηγμένων* vel *δεδεγμένων*. caeterum interstitium in scriptis non est.

18. *ὁμοτρόπως τῶν αὐτῶν ἕνεκεν τοῖς προειρημένοις M.* illud utique certum est, non eo loco mansisse *τῶν αὐτῶν ἕνεκεν* quo genitum est. nam *τοῖς προειρημένοις* male ab *ὁμοτρόπως*, unde pendet, divellitur. aut igitur verba sic ordinanda, *ὁμοτρόπως τοῖς προειρημένοις τῶν αὐτῶν ἕνεκεν*, aut interpolatori tribuenda quae membrorum distractionem efficiunt. hoc malui.

προειρημένοις. τὸ δὲ αὐτὸ ποιεῖν καὶ μετὰ ξένων μισθο- 2
φόρων μέλλοντά τι πράσσειν. ἀεὶ δὲ χρὴ ὑπερέχειν πλήθει
καὶ δυνάμει τοὺς ἐπαγομένους πολίτας τῶν ξένων· εἰ δὲ μή,
ἐπ᾽ ἐκείνοις γίγνονται αὐτοί τε καὶ ἡ πόλις. οἷον Χαλκηδο- 3
νίοις πολιορκουμένοις παρόντες σύμμαχοι ἔπεμψαν φρουρὰν
αὐτοῖς οἱ τῶν Καλχιδονίων σύμμαχοι. βουλευομένων τὰ αὐ-
τοῖς συμφέροντα οὐκ ἔφασαν οἱ φρουροὶ ἐπιτρέψειν, ἐὰν μὴ
καὶ Κυζικηνοῖς δοκῇ εἶναι συμφέροντα, ὥστε τοῖς Χαλκηδο-
νίοις τὴν φρουρὰν ἐφέδραν πολὺ φοβερωτέραν εἶναι τῶν
προσκαθημένων πολεμίων. δεῖ οὖν μήποτε εἰς πόλιν οἰκείαν 4
μείζω δύναμιν ἐπακτὸν δέχεσθαι τῆς ὑπαρχούσης τοῖς πολί-
ταις, ξένοις τε χρώμενον ἀεὶ πολλῷ ὑπερέχειν τῆς τῶν ξένων
δυνάμεως· οὐ γὰρ ἀσφαλὲς ξενοκρατεῖσθαι καὶ ἐπὶ μισθο-
φόροις γίγνεσθαι. οἷον καὶ Ἡρακλεώταις τοῖς ἐν τῷ Πόντῳ 5
συνέβη. ἐπαγαγόμενοι γὰρ ξένους πλείονας τοῦ προσήκοντος,
πρῶτον μὲν τοὺς ἀντιστασιώτας ἀνεῖλον, ἔπειτα αὐτοὺς καὶ
τὴν πόλιν ἀπώλεσαν, τυραννευθέντες ὑπὸ τοῦ εἰσαγαγόντος
τοὺς ξένους.

1. *ποιεῖν* abest a scriptis. supplevi ipso Aenea dictante XXXII 10 *τὸ δ᾽ αὐτὸ ποιεῖν καὶ ᾗ ἂν ἄλλῃ τοῦ τείχους ὑπερπετῆ γιγνόμενα τὰ βέλη τοὺς ὑπηρετοῦντας καὶ τοὺς διαπορευομένους βλάπτῃ καὶ τιτρώσκῃ.* simillimo modo idem XXII 13 *ἂν δὲ δοκῇ, καὶ εἰς τὸ ἔσω μέρος τοῦ τείχους τὸ αὐτὸ ποιεῖν.* XXXI 3 *ἐπιστολὴν γράψαντα τὸ αὐτὸ ποιεῖν ἐπισημαινόμενον.*

2. *μέλλοντας M.* feci singularem. Adieci *δέ.*

4. *γίνονται M.* gamma inserui.

*οἷον — τὰ αὐτοῖς M. οἷον Χαλκηδονίοις πολιορκουμένοις οἱ παρόντες σύμμαχοι * — ἔπεμψαν δὲ φρουρὰν αὐτοῖς Κυζικηνοὶ οἱ τῶν Χαλκηδονίων σύμμαχοι — βουλευομένων οὖν τὰ αὐτοῖς* Turicenses. iidem post prius *σύμμαχοι* verbum excidisse censent, velut *ἐπέκειντο.* certum est *Χαλκηδονίων.*

7. *ἔφασαν* Casaubonus: *ἔφησαν M.*

8. *δοκῇ* Casaubonus: *δοκεῖ M.* mox *καλχιδονίοις M.* correxit idem.

9. *ἔσω ὁρᾶν M* et codex Casauboni. *ἔσω οὖσαν* infelix est coniectura Casauboni, per omnes editiones iactata. sed eiusmodi sententiae admistione liberandus omnino Aeneas est. nam per se intellegitur, oppida praesidiis firmari non extra muros positis sed intra. in promptu est scribere *ἐφέδραν, obsessionem.* XIV 1 *ὅπου γε καὶ φοβερώτατοι ἔφεδροί εἰσιν οἱ τοιοίδε ἄνθρωποι.* in simili re Synesius *προσεδρείαν* habet Ep. 133. p. 269 C.

10. *προσκαθημένων* Meierus: *προκαθημένων M.*

11. *ἐπακτὸν* Casaubonus: *ἐπ᾽ αὐτὸν M.*

12. *χρώμενον ἀεὶ δεῖ τὴν πόλιν M.* ad interpolatorem remisi *δεῖ τὴν πόλιν.*

13. *ἐπὶ* Casaubonus: *ἔτι M* et codex Casauboni.

14. *γίνεσθαι M.* scripsi *γίγνεσθαι.*

15. *ἐπαγαγόμενοι* Meinekius: *ἐπαγόμενοι M.*

16. *αὐτοὺς M.*

17. *εἰσαγαγόντος* Casaubonus: *εἰσάγοντος M.*

13 Ἂν δὲ δέῃ ξενοτροφεῖν, ὧδε ἂν ἀσφαλέστατα γίγνοιτο.
χρὴ τοῖς ἐν τῇ πόλει εὐπορωτάτοις προστάξαι κατὰ δύναμιν
παρασχεῖν ξένους ἕκαστον, τοὺς μὲν τρεῖς τοὺς δὲ δύο, τινὰς
δὲ ἕνα· ἀθροισθέντων δὲ ὅσων δεῖ, οὕτω διελεῖν αὐτοὺς εἰς
λόχους, καταστήσαντα ἐπ᾽ αὐτοὺς τῶν πολιτῶν τοὺς πιστο-
2 τάτους λοχαγούς. τὸν δὲ μισθὸν καὶ τὴν τροφὴν οἱ ξένοι
παρὰ τῶν μισθωσαμένων λαμβανόντων, τὸ μέν τι παρ᾽ αὐ-
3 τῶν, τὸ δὲ καὶ τῆς πόλεως συμβαλλομένης. καὶ διαιτάσθων
ἕκαστοι ἐν ταῖς τῶν μισθωσαμένων οἰκίαις, εἰς δὲ τὰς λει-
τουργίας καὶ τὰς ἐκκοιτίας καὶ τὰ ἄλλα ἐπιτάγματα ἐκ τῶν
4 ἀρχόντων ἀθροιζόμενοι ὑπὸ τῶν λοχαγῶν ὑπηρετούντων. κομιδὴ
δὲ τοῖς προαναλίσκουσιν εἰς τοὺς ξένους χρόνῳ τινὶ γενέσθω
ὑπολογιζομένων τῶν εἰς τὴν πόλιν εἰσφερομένων παρὰ ἑκάστου
τελῶν· οὕτω γὰρ ἂν τάχιστά τε καὶ ἀσφαλέστατα καὶ εὐτε-
λέστατα ξενοτροφηθείη.

14 Τοῖς μὲν οὖν ἐν τῇ πόλει ὑπεναντία θέλουσι τοῖς καθε-
στηκόσι προσφέρεσθαι ὡς προγέγραπται· τὸ δὲ πλῆθος τῶν
πολιτῶν εἰς ὁμόνοιαν τέως μάλιστα χρὴ προάγειν, ἄλλοις τε
ὑπαγόμενον αὐτοὺς καὶ τοὺς χρεωφειλέτας κουφίζοντα, τῶν

1. *ὧδε M.*

ἀσφαλέστατα ego: *ἀσφαλέστατον M.* in extremo capite recte est *οὕτω γὰρ ἂν τάχιστά τε καὶ ἀσφαλέστατα καὶ εὐτελέστατα ξενοτροφηθείη.*

γίνοιτο M. scripsi *γίγνοιτο.* post *γίνοιτο* in *M* lemmatis loco est *Ξενοτροφία.*

2. *κατὰ δύναμιν ἑκάστῳ M.* expunxi *ἑκάστῳ.*

4. *δεῖ οὕτω* scripsi: *δέοιτο M.* similiter Aeneas XV 3 *εἶτα συνταχθέντας καὶ ἡγεμόνας αὐτοῖς φρονίμου δοθέντος οὕτως ἐμπέμπεσθαι.* XVII 6 *τούτων δὲ ἀπαλλαγέντων οὕτω τοὺς ἄλλους συνιέναι.*

αὐτοὺς codex Casauboni: *ἑαυτοὺς M.*

5. *καταστήσαντα* scripsi: *καταστήσαντας M.*

6. Tractavi hunc locum in Herma l. c. p. 70. ibi Aeneam statui dedisse haec, *τὸν δὲ μισθὸν καὶ τὴν τροφὴν οἱ ξένοι λαμβανόντων τὸ μέν τι παρὰ αὐτῶν τῶν μισθωσαμένων, τὸ δὲ καὶ τῆς πόλεως συμβαλλομένης.* nunc haud scio an servato ordine qui in scriptis est ita corrigendum sit *παρὰ τῶν μισθωσαμένων λαμβανόντων, τὸ μέν τι αὐτῶν χορηγούντων, τὸ δὲ καὶ τῆς πόλεως συμβαλλομένης.* non attinet dicere pro *χορηγούντων* et scribi posse *παρεχόντων* vel *συντελούντων.*

8. *διαιτάσθωσαν M.* feci formam per totum hunc libellum restituendam. in vicinia sunt *λαμβανόντων* et *ὑπηρετούντων.*

9. *εἰς δὲ* ego: *οἱ δὲ M.* I 5 *ἵνα εἴς τινα ἄλλην ὁμότροπον ταύταις λειτουργίαν ὑπάρχωσιν οὗτοι προτεταγμένοι τε καὶ δυνατοὶ ὑπηρετεῖν.*

13. *ὑπολογιζομένων* Haasius: *ὑπολογιζομένοις ὑπὸ M.*

16. *θέλουσιν M.*

17. In *M* lemma est *ΥΠΟΔΕΙΞΙΣ ΕΙΣ ΟΜΟΝΟΙΑΝ.*

19. *χρεωφειλέτας* Casaubonus: *χρεοφειλέτας M* et codex Casauboni.

τῶν μὲν addidi.

μὲν τόκων βραχύ τι ἢ ὅλους ἀφιέντα, ἐν δὲ τοῖς λίαν ἐπι-
κινδύνοις καὶ τῶν ὀφειλημάτων τι μέρος ἢ καὶ πάντα ὅταν
δέῃ (ὅπου γε καὶ φοβερώτατοι ἔφεδροί εἰσιν οἱ τοιοίδε ἄν-
θρωποι), τούς τε ἐν ἀπορίᾳ ὄντας τῶν ἀναγκαίων εἰς εὐπο-
ρίαν καθιστάντα. καὶ ὅπως ἂν ἴσως καὶ ἀλύπως τοῖς πλου- 2
σίοις ταῦτα γίγνοιτο, καὶ ἐξ οἵων πόρων πορίζοιτο, καὶ περὶ
τούτων ἐν τῇ Ποριστικῇ βίβλῳ δηλωτικῶς γέγραπται.
Κατασκευασθέντων δὲ τούτων, ἄν τι ἀγγελθῇ ἢ πυρσευθῇ 15
βοηθείας δεόμενον, ἐξιέναι ἐπὶ τὰ κακούμενα τῆς χώρας. τὸν 2
δὲ στρατηγὸν τοὺς παρόντας εὐθὺς συντάττειν, ἵνα μὴ σπο-
ράδην καὶ κατ᾽ ὀλίγους ἐξιόντες ἐπὶ τὰ αὐτῶν ἀπολλύωνται
δι᾽ ἀταξίαν καὶ κόπον ἄκαιρον, ἐνεδρευόμενοί τε ὑπὸ τῶν πο-
λεμίων καὶ κακὰ πάσχοντες. ἀλλὰ χρὴ τοὺς παραγιγνομένους 3
ἐπὶ τὰς πύλας ἀθροίζεσθαι μέχρι τινὸς πλήθους, ὡς λόχου

1. *βραχύ τι* Kirchhoffius: *βραχύτητι M.*

ἢ] Cogites de *καί* adiciendo, uti proxime est *καὶ τῶν ὀφειλημάτων τι μέρος ἢ καὶ πάντα.* sed vide Hippocratem de Morbis Mul. I 8. T. II. p. 542 Ermer. *ἢν δὲ ἠρεμαίως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ πᾶν τὸ λυπέον, ὑγιὴς γίνεται.*

ὅλους scripsi: *ὅλως M.*

ἀφαιροῦντα M. ἀφαιρεῖσθαι τὰ χρέα eo sensu qui est *remittere debita* incuriose in Thesaurum Vol. VIII. p. 1636 D relatum est ex Plutarchi Comparatione Solonis et Popl. 3, ubi est *οὐδὲν γὰρ ὄφελος νόμων ἰσότητα παρεχόντων, ἣν ἀφαιρεῖται τὰ χρέα τοὺς πένητας.* reposui vocabulum in hac re proprium *ἀφιέντα.*

2. *ἢ* adiecit Meierus.

